www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados N

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ποσειδῶν νικωμένους ἐλεῶν τοὺς Ἕλληνας, ὁμοιοῦται καὶ Κάλχαντι, καὶ ἀμφοτέρους τοὺς Αἴαντας παρορμᾷ, ἔπειτα δὲ καὶ τοὺς ἄλλους, μετὰ ταῦτα Ἰδομενεὺς ἀριστεύει, καὶ ἀναιρεῖ Ὀθρυονέα, καί τινας ἄλλους, πολλοὶ δὲ αὐτῶν ἀναιροῦνται. τιτρώσκονται δὲ Δηΐφοβος, καὶ Ἕλενος, τοὺς δὲ ὑπηκόους συναγαγὼν, Ἕκτωρ ἐπάγει τοῖς πολεμίοις. καὶ μεγάλως ἀμφοτέρωθεν ἀναιροῦνται.

## ΚΑΙ ΑΛΛΗ.

Διαρρήξας τὰς πύλας τοῦ τείχους τῶν Ἑλλήνων Ἕκτωρ, μεταβὰς τε εἰσελθὼν εἰς φυγὴν αὐτοὺς τρέπει. καὶ Ζεὺς μὲν ἀποστρέψας τὰς ὄψεις ἐπὶ τὰ πέρατα τῆς γῆς, ἀλλοφύλους θεωρεῖ ἀνθρώπους. Ποσειδῶν δὲ καθεζόμενος ἐπὶ Σαμοθρᾴκης, θεασάμενος ἡττημένους τοὺς Ἕλληνας, παραγίνεται εἰς Αἰγάς. ἔνθα ἦν αὐτῷ τέμενος. λαβὼν δὲ συνήθη κόσμον, καὶ ὑποζεύξας ἵππους, παραγίνεται εἰς τὸ πεδίον. καὶ τὸ μὲν ἅρμα καθιστᾷ ἐν τῷ πελάγει. αὐτὸς δὲ ὁμοιωθεὶς Κάλχαντι, παρορμᾷ τοὺς ἀρίστους τῶν Ἑλλήνων. οἱ καὶ ῥόπον τινὰ ἐμπνευσθέντες παρὰ τοῦ θεοῦ, γενναίως ἀγωνίζονται. ἐν οἷς καὶ Ἰδομενεὺς καὶ Μηριόνης εὐδοκιμοῦσι. συμβολῆς δὲ γινομένης, ἑκατέρων τῶν στρατευμάτων ἐξαίσιος βοὴ αἴρεται.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ν ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶας τε καὶ Ἕκτορα.] κεχώρηκε τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα κατ' ἐξοχήν. μετὰ τὴν Ἰλίου πόρθησιν Ἕκτωρ ὁ Πριάμου καὶ μετὰ θάνατον, τὴν ἀπὸ θεῶν εὐτύχησε τιμήν. οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι πιεζόμενοι κακοῖς ἐμαντεύοντο περὶ ἀπαλλαγῆς. χρησμὸς δὲ αὐτοῖς ἐλέχθη παύσασθαι τὰ δεινά. ἐὰν ἐξ Ὀφρυνίου τῆς Τρῳάδος τὰ Ἕκτορος ὀστᾶ διακομισθῶσιν εἰς τὸν παρ' αὐτοῖς καλούμενον τόπον Διὸς γονάς. οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τῶν κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἔσχον Ἕκτορα. κατά τε τοὺς ἐπείγοντας καιροὺς, ἐπικαλοῦνται τὴν ἐπιφάνειαν αὐτοῦ. ἡ ἱστορία παρ' Ἀριστοδήμῳ.

ἐπεὶ οὖν.] ἐπειδή. πέλασσε.] προσεπέλασεν, ἐγγίσαι ἐποίησε. παρὰ τῇσι.] παρὰ ταύταις. πόνον.] τὴν κατὰ τὸν πόλεμον ταλαιπωρίαν. ὀϊζύν.] ταλαιπωρίαν. νωλεμέως.] ἀδιαλείπτως. πάλιν τρέπε.] τὴν ἀπὸ τοῦ εὐθέος μεταστροφὴν δηλοῖ. ὄσσε πάλιν κλίνασα. οἱ δὲ ἀνὰ μέρος Μυσίαν καὶ Θρᾴκην ὁρῶν. ἔστι δὲ καὶ τοῦτο σύνηθες Ὁμήρῳ. πάλιν ποίησε γέροντα, καὶ ἐς τοὐπίσω πάλιν ἐρύσασα. καὶ ἐναντίον οὐδὲ πάλιν ὁρίει. ὄσσε φαεινώ.] ὀφθαλμοὺς παρεχομένους τὸ φῶς. ἢ στιλπνούς. ἱπποπόλων.] περὶ ἵππους πολούντων ἐξ οὗ πολεμικῶν. αἶαν.] γῆν. ἀγχεμάχων.] τῶν σταδίην καὶ ἐκ τοῦ πλησίον μαχομένων. ἀγαυῶν.] λαμπρῶν. καὶ ἐνδόξων. ἢ ὄνομα ἔθνους οὕτω καλουμένων Ἀγαυῶν. ἱππημολγῶν. ἵππους ἀμελγόντων. γαλακτοφάγοι γάρ εἰσιν. ὅθεν καὶ γαλακτοφάγους αὐτοὺς εἶπεν, οἱ ἀρκούμενοι γάλακτι καὶ λιτῇ διαίτῃ. καλῶς εἴρηται δικαιότατοι. ἐπιθυμία γὰρ πλειόνων, ἐπ' ἀδικίαν ἄγει. τοῦτο συνιδὼν καὶ Λυκοῦργος, κοινὴν καὶ οὐ περιττὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν. Ἀβίων.] ἤτοι βιοῖς μὴ χρωμένων ὅ ἐστι τόξοις. ἢ τὸ α. κατ' ἐπίτασιν ἵν' ᾖ πολυβίων καὶ πολυκτήμονων. ἢ τῶν ἔμβρον βίον μὴ ἐγνωκότων. ἐπιφέρει γὰρ δικαιοτάτων ἀνθρώπων. ἢ μὴ βιαζομένων. ἔστι δὲ καὶ ἔθνος ἐν Σκυθίᾳ Ἄβιοι, οἱ καὶ Ἀμάξοβιοι καὶ Νομάδες ὀνομαζόμενοι. ἀλαοσκοπιήν.] ματαίαν τὴν κατασκοπήν, ὅ ἐστιν ἐπιμελῶς ἐσκόπει. ἀλαὸς γὰρ ὁ τυφλός.

# ΙΛΙΑΔΟΣ Ν ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Νῦ δὲ Ποσειδάων Δαναοῖς κράτος ὤπασε λάθρῃ.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε, καὶ Ἕκτορα νηυσὶ πέλασσεν
Τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζύν.
Νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
Νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν ἱππημολγῶν.
Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
Ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ.
Οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἐέλπετο, ὃν κατὰ θυμὸν
Ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων.

Καὶ γὰρ

θαυμάζων.]

θαυμάζων.] θεώμενος, καθορῶν. ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης.] Σάμιοι οἱ ἐν Ἰωνίᾳ μετὰ διακοσιοστὸν καὶ ἔνατον ἔτος τῶν Τρωϊκῶν, χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου εἰς τὴν ἐν Τρῳάδι Θρᾴκην μετοικῆσαι· ἀφ' ὧν ἡ Σαμοθρᾴκη προσηγορεύθη. ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ. Σάμου Θρηϊκίης.] τῆς Σαμοθρᾴκης. τὸ μέντοι ἐν αὐτῇ ὄρος, Σαώκη καλεῖται. ἐνεμέσσα.] ἐμέμφετο. παιπαλόεντος.] τραχέος. κραιπνά.] κραιπνῶς, ταχέως. προβιβάς.] ὑγρῶς προβαίνων. ὀρέξατο.] ἐξέτεινε, διέβη. τὸ δὲ τέτρατον.] προσληπτέον ὀρεξάμενος.

Καὶ γὰρ ὁ θαυμάζων ἧστο, πτόλεμόν τε μάχην τε,
Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης, ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
Φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσατο παιπαλόεντος,
Κραιπνὰ ποσὶ προβιβάς, τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη,
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον, ἵκετο τέκμωρ
Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
Χρύσεα μαρμαίροντα τετεύχαται ἄφθιτα αἰεί,
Ἔνθ' ἐλθὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω
Ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
Χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου.
Βῆ δ' ἐλάαν ἐπὶ κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
Πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα.
Γηθοσύνῃ δὲ θάλασσα διΐστατο. τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων.
Τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης.
Μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης.
Ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων,
Λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
Ἔδμεναι, ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας
Ἀρρήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
Νοστήσαντα ἄνακτα, ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλλῃ.
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο.
Ἄβρομοι, αὐΐαχοι, ἔλποντο δὲ νῆας Ἀχαιῶν
Αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας Ἀχαιούς.
Ἀλλὰ Ποσειδάων Γαιήοχος Ἐννοσίγαιος,

Ἀργείους

Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα.] Αἰγαὶ πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ ἔνθα τιμᾶται ὁ Ποσειδῶν. ἄγεται δὲ καὶ Διονύσῳ ἑορτή, ἐν ᾗ ἐπειδὰν ὁ χορὸς συστὰς τὰς τοῦ δαίμονος τελετὰς ὀργιάζῃ, καὶ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔργον. ἄμπελοι γὰρ ἃς καλοῦσιν ἐφημέρους, ἀνισχούσης ἡμέρας καρπὸν βλαστάνουσιν, ἄχρι δὲ τῆς ἑσπέρας οἶνον ἄφθονον ἔχουσιν. ἡ ἱστορία παρὰ Εὐφορίωνι. ζητεῖται δὲ διατί εὐθέως οὐ πορεύεται ὁ Ποσειδῶν εἰς Τροίαν, ἀλλὰ τὸν χρόνον δαπανᾷ πορευθεὶς εἰς Αἰγάς. ῥητέον ὅτι δυοῖν ἕνεκα πραγμάτων μεμηχάνηται ἡ ἀποδημία. πρῶτον μέν, ἵνα ἀποπλανήσῃ τὸν Δία ὡς ἀπολείποι πως τὸν πόλεμον. δεύτερον δέ, ἵνα καθοπλισθῇ πρὸς τὸν Διὸς πόλεμον, ἐὰν ἄρα φωραθεὶς εἰς τὴν συμμαχίαν κινδυνεύσῃ. ὑπ' ὄχεσφι τιτύσκετο.] ὑπεζεύγνυε τῷ ὀχήματι τοὺς ἵππους. ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.] χρυσῷ κεκοσμημέναις. ἢ καλαῖς. αἴθειραι δὲ εἴρηνται παρὰ τὸ δὴ ἔθος ἔρεσθαι, ὅ ἐστι πλέκεσθαι. ὠκυπέτα.] ταχέως τρέχοντας. ἱμάσθλην.] μάστιγα. ἄταλλεν.] ἐν νεότητι κατὰ διάθεσιν ἐγίγνετο, ὅ ἐστιν ἐσκίρτα καὶ ἔχαιρεν. ὑπ' αὐτοῦ.] ἀντὶ τοῦ δι' αὐτόν. πάντοθεν ἐκ κευθμῶν.] ἐκ τῶν καταδύσεων καὶ φωλεῶν. γηθοσύνῃ.] τῇ χαρᾷ. διαίνετο.] διάβροχος ἐγίγνετο. ἐΰσκαρθμοι.] εὐσκάριστοι, ὅ ἐστιν εὐκίνητοι, ταχεῖς. σκαρθμὸς γὰρ κατὰ διάλεκτον ὁ πούς. ἔστι δέ τι σπέος εὐρύ.] ἀφώτιστον οἴκημα πλατὺ παρὰ τὴν σβέσιν τοῦ φωτός. λίμνης.] νῦν θαλάσσης. Τενέδοιο καὶ Ἴμβρου.] νῆσοι πλησίον Τροίας κείμεναι, καὶ ἡ μὲν Τένεδος κεῖται μέσον τριῶν πελάγων, Αἰγαίου, Ἑλλησπόντου, μέλανος κόλπου. διὸ καὶ Τρίοδος ὑπ' ἐνίων καλεῖται. ἡ δὲ Ἴμβρος ἐστὶν ἐν τῷ μέλανι κόλπῳ. εἶδαρ.] ἔδεσμα, βορά. ἔδμεναι.] ἐσθίειν. πέδας.] δεσμούς, ἤτοι παρὰ τὸ πιέζειν εἴρηνται, ἢ παρὰ τοὺς πόδας, ὥσπερ παρὰ τὸν ὀβολὸν τὸ ἡμιωβόλιον. ἀλύτους.] δυσλύτους. ἄμοτον.] ἀντὶ ἀμέτρως, καὶ ἀπληρώτως. ἄβρομοι, αὐΐαχοι.] ἀντὶ τοῦ πολύβρομοι καὶ πολύηχοι. ἑκάστοτε θορυβώδεις τοὺς Τρῶας παρίστησιν. αὐΐαχοι.] ἀντὶ τοῦ αὐίαχοι. τοῦ γὰρ ν ἐξαιρεθέντος, ὑπεισῆλθε τὸ υ, ὡς καὶ ὅτε τὸ ἀγανοί, ἀγαυοί. Χρύσιππος δὲ ὁ Στωϊκὸς καὶ Διονύσιος ὁ Θρᾷξ ψιλοῖ τὸ αὐίαχοι, ἵν' ᾖ ξηρόφωνοι. Γαιήοχος Ἐννοσίγαιος.] ἐπίθετα Ποσειδῶνος. καὶ τὸ μὲν ἓν δηλοῖ ὁ τὴν γῆν συνέχων, τὸ δὲ ἕτερον ὁ κινῶν αὐτήν. καὶ γὰρ περὶ ἰατρόν, δύο ἐστίν, ὧν χρὴ προΐστασθαι, καὶ τὰ νοσερὰ διορθοῦσθαι, καὶ τὰ ὑγιεινὰ προφυλάσσειν.

λάσειν. κρυεροῖο.] φρικτοῦ, φοβεροῦ. ἄλλῃ.] ἀλλαχοῦ, κατ' ἄλλο μέρος. ὑπερκατέβησαν.] ὑπερέβησαν. ἕξουσιν.] ἐφέξουσι, κωλύσουσιν. ᾗ ῥ' ὅγε.] καθ' ὃ μέρος οὗτος. ὁ λυσσώδης.] ὁ μεμηνώς. ἐρωήσαιτ' ἀπὸ νηῶν.] ἀποστρέψοιτε καὶ ἀπελάσοιτε τῶν νηῶν. σκηπανίῳ.] σκήπτρῳ ἀπὸ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν ἐπερείδεσθαι. κεκοπώς.] πλήξας. ἴρηξ.] ἱέραξ. αἰγίλιπος.] ὑψηλῆς. περιμήκεος.] λίαν μεγάλης ὑπὲρ μέγεθος. ἀρθείς.] ἐπαρθεὶς, ἀποπτάς. πεδίοιο.] διὰ τοῦ πεδίου. ὄρνεον ἄλλο.] ἀντὶ τοῦ ἀλλόφυλον. τοῖιν δέ.] τούτων δέ. Ὀϊλῆος ταχὺς Αἴας.] Αἴας Λοκρὸς μὲν τὸ γένος ἀπὸ πόλεως Ὀποῦντος, πατρὸς δὲ Ὀϊλέως. οὗτος μετὰ τὴν τῆς Ἰλίου πόρθησιν, αἴτιος τοῖς Ἕλλησιν ἀπωλείας ἐγένετο. Κασσάνδραν γὰρ τὴν Πριάμου, ἱκέτιν οὖσαν Ἀθηνᾶς, ἐν τῷ τῆς θεᾶς σηκῷ κατῄσχυνεν· ὥστε τὴν θεὰν τοὺς ὀφθαλμοὺς τοῦ ξοάνου εἰς τὴν ὀροφὴν τρέψαι. τοῖς δὲ Ἕλλησιν ὑποστρέφουσι καὶ κατὰ τὴν Εὔβοιαν γενομένοις, χειμῶνας διήγειρε μεγάλους· ὥστε πολλοὺς αὐτῶν διαφθαρῆναι. διανηξάμενος δὲ Αἴας ἐς τὰς Γυράδας καλουμένας πέτρας, ἔλεγε χωρὶς θεῶν γνώμης διασωθῆναι. Ποσειδῶν δὲ ἀγανακτήσας, διέσχισε τὴν πέτραν. καὶ τὸν Αἴαντα τῷ κλύδωνι παρέδωκεν· ἐκριφέντα δὲ αὐτοῦ κατάδηλον νεκρὸν, Θέτις ἐλεήσασα, θάπτει. Ἀθηνᾶ δὲ οὐδὲ οὕτως τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ τοὺς Λοκροὺς ἠνάγκασεν, ἐπὶ χίλια ἔτη εἰς Ἴλιον ἐκ κλήρου παρθένους πέμπειν. ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν Αἰτίοις. καὶ παρ' αὐτῷ τῷ Ποιητῇ ἐν δ. Ὀδυσσείας παχυμερῶς. οἰωνιστής.] οἰωνοσκόπος. πῶς δέ φησιν ὁ Ποσειδῶν οὐκ ἔλαθε τὸν Αἴαντα. καὶ ῥητέον ὅτι φαντασίαν παρέχει τὸ θεῖον ἑαυτοῦ. ἴχνια.] ἴχνη, πατήματα. ἀρίγνωτοι.] εὐδιάγνωστοι. μαιμώωσι.] μετὰ προθυμίας ὁρμῶσιν. ὤρορε.] ὥρμηται, ὑπερβιβασμὸς χρόνου. ἔσσυμαι.] ὥρμηκα, ἐσπούδακα. χάρμῃ γηθόσυνοι.] χαίροντες τῇ ψυχῇ. ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τὴν μάχην. ἀνέψυχον.] ἀνεκτῶντο, ἀνέπαυον. δάκρυα λεῖβον.] ἐστέναζον, ἐδάκρυον. ὑπ' ὀφρύσι δάκρυα λεῖβον.] οἱ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι. „κοίμισόν μοι „Ζηνὸς, ὑπ' ὀφρύσιν ὄσσε φαεινώ. διὰ δὲ τούτων,

Ἀργείους ὤτρυνε βαθείης ἐξ ἁλὸς ἐλθών,
Εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν.
Αἴαντε πρώτω προσέφη μεμαῶτε καὶ αὐτώ.
Αἴαντε σφὼ μέν κε σαώσετε λαὸν Ἀχαιῶν,
Ἀλκῆς μνησαμένω, μὴ δὲ κρυεροῖο φόβοιο.
Ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Ἕξουσιν γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί.
Τῇ δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν.
Ἧ ῥ' ὅγ' ὁ λυσσώδης φλογὶ ἴκελος ἡγεμονεύει
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.
Σφῶιν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Αὐτώ θ' ἑστάμεναι κρατερῶς, καὶ ἀνωγέμεν ἄλλους.
Τῶ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
Ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος ἐννοσίγαιος
Ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο.
Γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
Αὐτὸς δ' ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
Ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
Ὁρμήσει πεδίοιο διώκειν ὄρνεον ἄλλο.
Ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
Τοῖιν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας.
Αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν.
Αἶαν, ἐπεί τις νῶϊ θεῶν οἳ Ὄλυμπον ἔχουσι
Μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,
Οὐδ' ὅγε Κάλχας ἐστὶ θεοπρόπος, οἰωνιστής.
Ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
Ῥεῖ' ἔγνων ἀπιόντος, ἀρίγνωτοι δὲ θεοί περ.
Καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσι φίλοισι
Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι.
Μαιμώωσι δ' ἔνερθε πόδες, καὶ χεῖρες ὕπερθεν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας
Οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
Μαιμῶσιν, καί μοι μένος ὤρορε. νέρθε δὲ ποσσὶν
Ἔσσυμαι ἀμφοτέροισι, μενοινώω δὲ καὶ οἶος,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν γαιήοχος ὦρσεν Ἀχαιοὺς
Οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ.
Τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο.
Καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Τοὺς οἵγ' εἰσορόωντες ὑπ' ὀφρύσι δάκρυα λεῖβον.

Οὐ γὰρ

Οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπὲκ κακοῦ, ἀλλ' Ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας.
Τεῦκρον ἐπὶ πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ' ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς,
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
Αἰδὼς Ἀργεῖοι κοῦροι νέοι, ὔμμιν ἔγωγε
Μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἄμας.
Εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
Νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Δεινόν, ὃ οὔποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
Φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ' ὕλην
Θώων, παρδαλίων τε, λύκων τ' ἤϊα πέλονται,
Αὔτως ἠλάσκουσαι ἀνάλκιδες οὐδ' ἔπι χάρμη,
Ὣς Τρῶες τοπρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
Μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον οὐδ' ἠβαιόν.
Νῦν δ' ἑκάθεν πόλιος, κοίλης ἐπὶ νηυσὶ μάχονται
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν.
Οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
Ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα,
Ἡμέας γ' οὔπως ἐστὶ μεθιέμεναι πολέμοιο,
Ἀλλ' ἀκεώμεθα θᾶσσον, ἀκεσταί τοι φρένες ἐσθλῶν.
Ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν, οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅς τις πολέμοιο μεθείη
Λυγρὸς ἐών. ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον,
Τῇδε μεθημοσύνῃ, ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ καὶ νέμεσιν, δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθός, πολεμίζει
Καρτερός. ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
Ὣς ῥα κελευτιόων, Γαιήοχος ὦρσεν Ἀχαιούς.
Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
Καρτεραί. ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών,
Οὔτε κ' Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
Κριθέντες, Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ,
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων. ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν,

Ἔγχεα δ'

τούτων, ἐδ[illegible]ον. ἔτι δὲ οἱ ἤκουσαν. λεληθότως ἐκλ[illegible]. μετεισάμενος.] πρὸς αὐτοὺς ἀφικόμενος. μετελθών, ἢ μεταβληθείς. αἰδώς.] αἰδέσθητε. ἄμας.] ἡμετέρας. λευγαλέοιο.] ὀλεθρίου. νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.] νῦν ἀναφαίνεται ἡ ἡμέρα ἐν ᾗ ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. εἴδεται.] φαίνεται. ἔφασκον.] ὑπελάμβανον, ἔλεγον. φυζακινῆς.] φευκτικαῖς, δειλαῖς. θώων.] πανθηρίων. ὁ θὼς ζῶον ἄλκιμον καὶ εὐκίνητον. ἔνιοι δὲ παραπλήσιον ὑαίνῃ. παρδαλίων.] παρδαλέων. ἤϊα.] βρώματα. κυρίως δὲ τὰ ἐν τῇ ὁδῷ ἐπιτήδεια ἐφόδια.

λύκων τ' ἤϊα πέλονται.] βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ ἐσθιόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ. δεῦτε φίλοι ἤϊα φερώμεθα Σιμωνίδης φησί. καὶ τὰ ἄχυρα δὲ ἤϊα λέγεται. ὡς τό, ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ. τάχα δὲ τὰ φερόμενα παρὰ τὸ ἰέναι. γεννηθέντος γὰρ ἀνέμου, δεῦρο κἀκεῖσε φέρονται. ἠλάσκουσαι.] ἐκκλίνουσαι, πλανώμεναι. οὐκ ἐθέλεσκον.] οὐκ ἠδύναντο. ἑκάθεν.] πόρρωθεν.

κακότητι.] κακίᾳ, δειλίᾳ. μεθημοσύνῃσι.] ταῖς ἀμελείαις. ἀλλ' ἀκεώμεθα θᾶσσον.] ἀλλ' ἰασώμεθα διὰ ταχέος τὸ γεγονὸς ἁμάρτημα. ἀκεσταί.] εὐθεράπευτοι, εὐίατοι. ὁ δὲ λόγος, αἱ τῶν ἀγαθῶν φρένες, ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται εὐθεράπευτοι οὖσαι. ἢ θεραπευτικαί εἰσιν. οὐ καλά.] οὐ καλῶς. λυγρός.] χαλεπός, ἄδοξος.

νεμεσσῶμαι.] μέμφομαι. περὶ κῆρι.] ἐκ ψυχῆς. κελευτιόων.] παρακελευόμενος, παρορμῶν. Γαιήοχος.] ἤτοι ὁ ἐπὶ γῆς ὀχούμενος, ἢ ὁ χαίρων τοῖς ἅρμασιν. ἵππιος γὰρ ὁ θεός. ἢ ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. φασὶ γὰρ αὐτὴν ἐπὶ ὕδατος ἐστηρίχθαι. ἐννοσίγαιος δὲ ὁ κινῶν τὴν γῆν. τῇ τοῦ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μεταστάσει γίνεται ὁ σεισμός. ὀνόσαιτο.] μέμψαιτο. λαοσσόος.] ἡ τοὺς λαοὺς σεύουσα, τουτέστιν εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα.

κριθέντες.] διαταχθέντες. προθελύμνῳ.] ἐπάλληλοι, πυκνοί. Ἀνδρόμαχος ἐν ἐτυμολογικοῖς φησι κυρίως λέγεσθαι τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα διὰ τὸ θελυμανῶν.

ψαῦον.] ὕριμα, ἥπτοντο.

ἐπτύασοντο.]

Ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν
Σειόμεν', οἳ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
Ἀντικρὺ μεμαὼς ὀλοοίτροχος ὣς ἀπὸ πέτρης.
Ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ.
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης
Ὕψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
Ὕλη, ὁ δ' ἀσφαλέως θέει, ἔμπεδον ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται ἐσσύμενός περ,
Ὣς Ἕκτωρ εἷος μὲν ἀπείλει μέχρι θαλάσσης
Ρεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν
Κτείνων. ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι
Στῆ ῥα μάλ' ἐγχριμφθείς, οἳ δ' ἀντίοι υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
Ὦσαν ἀπὸ σφείων, ὁ δὲ χασσάμενος πελεμίχθη.
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς.
Τρῶες καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ
Παρμένετ'. οὔτι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί.
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες.
Ἀλλ' ὀΐω χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με,
Ὦρσε θεῶν ὤριστος ἐρίγδουπος πόσις Ἥρης.
Ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
Κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων.
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ.
Καὶ βάλεν, οὐδ' ἀφάμαρτε κατ' ἀσπίδα πάντοσ' ἐΐσην
Ταυρείην, τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
Ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ, Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῷ,
Ἔγχος Μηριόναο δαΐφρονος, αὐτὰρ ὅ γ' ἥρως
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
Ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέαξε.
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
Οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο.
Οἳ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Ἴμβριον αἰχμητὴν πολυΐππου Μέντορος υἱόν.
Ναῖε δὲ Πήδαιον πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
Κούρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην.
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι.
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι.
Ναῖε δὲ πὰρ Πριάμῳ, ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
Τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
Νύξ', ἐκ δ' ἔσπασεν ἔγχος, ὁ δ' αὖτ' ἔπεσεν μελίη ὥς.

Ἥ τ' ὄρεος

ἐπτύσσοντο.] εἰς τὸ αὐτὸ συνήγετο, καὶ ἐκάμπτετο καρδαινόμενα. προὔτυψαν.] προέβαλον, προέκρουσαν. ὀλοοίτροχος.] λίθος περιφερὴς, στρογγύλος. ὁ ἐν τῷ τρέχειν ὀλοός. τουτέστιν ὀλέθριος. ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπίπτον βλάπτει. στεφάνης.] περικεφαλαίας. ἢ ὄρους ὑπεροχῆς. νῦν δὲ λάας πέτρας. ἀσπέτῳ.] πολλῷ. ἀναιδέος.] τραχέας. ὕψι.] ἐφ' ὕψους. ἀναθρώσκων.] ἀναβαλλόμενος, ἀναπηδῶν. πέτεται.] ταχέως φέρεται. ἀσφαλέως.] παραμόνως. ἰσόπεδον.] ἰσόμαλον τόπον. ἐσσύμενός περ.] καί περ ὁρμῇ πολλῇ χρώμενος. ἀπείλει.] ὑπέλεγε, ὑπισχνεῖτο. ὅτι δὲ τὸ καυχᾶται καὶ ἐπιπλήσσει δηλοῖ. πυκινῇς φάλαγξι.] ταῖς πυκναῖς τάξεσιν. ἐνέκυρσεν.] αὐτέτυχεν. ἐγχριμφθείς.] ἐνδράσας. ἀμφιγύοισιν.] ἑκατέρωθεν ἠκονημένοις, καὶ βλάπτειν δυναμένοις. ἤϋσεν δὲ διαπρύσιον.] διὰ παντὸς τοῦ πέρατος ἀκουσθῆναι δυνάμενον. ἢ διὰ περάσιμον εἰς ἀκοάς. ἢ διαπρύσιον διαφανὲς καὶ σημαντικόν. Δάρδανοι.] οἱ ἐν Δαρδανίᾳ πόλει τῆς Τροίας οἰκοῦντες. σχήσουσιν.] ἐφέξουσι, κωλύσουσι. πυργηδόν.] δίκην πύργου, ἐν τάξει. ἔστι δὲ ἐπίρρημα παραβολοειδές. ὅμοιον τῷ σφαιρηδόν.

κοῦφα ποσὶ προβιβάς.] ἤτοι μετέωρα καὶ ὑψηλὰ προβαίνων. ἢ ἐπ' ἄκρων τῶν ποδῶν βαδίζων. οἱονεὶ ἀκροβηματίζων. ὑπασπίδια προποδίζων.] ὑπὸ τῇ ἀσπίδι ἠρέμα καὶ εὐρύθμως βαίνων. ἢ ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας τιθείς. τουτέστι περικαλύπτων αὐτοὺς τῇ ἀσπίδι κατὰ τὴν πορείαν. διὸ καὶ πρόδηλον ὅτι οὐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα. οὐ δὲ ὅπλα, ἐπεὶ αὖ αὐτὴν ἐκράτει. αὐτοῖο τιτύσκετο.] κατ' αὐτοῦ ἐστοχάζετο. καυλῷ.] καυλὸς τὸ ἄκρον τοῦ δόρατος τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδορατίδα. ἐάγη.] κατεάγη, ἐκλάσθη. χώσατο δ' αἰνῶς.] ἐλυπήθη γὰρ κατ' ἀμφότερα ἐπί τε τῷ τὴν νίκην ἀφῃρῆσθαι, καὶ ἐπὶ τῷ κεκλάσθαι τὸ δόρυ. οἰσόμενος.] κομίσων. οἴσων. διαφέρει δὲ τὸ οἴσων καὶ τὸ οἰσόμενος. οἴσων μὲν γὰρ ἑτέρῳ, οἷον τε βάρος γενεῖ κακῶν ἄχθος. οἴσετε δ' ἄρνα λευκόν. οἰσόμενος δὲ ἑαυτῷ. Πήδαιον.] Πήδασος πόλις Καρίας. μελίη ὥς.] εἰς τὴν μελίαν, ἔστι δὲ εἶδος δένδρου.

κορυφῆς.]

Ἥ τ' ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο
Χαλκῷ τεμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ,
Ὣς πέσεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὁρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι.
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ.
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν, ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν. ὁ δ' Ἀμφίμαχον Κτεάτου υἷ' Ἀκτορίωνος,
Νισσόμενον πόλεμον δὲ κατὰ στῆθος βάλε δουρί,
Δούπησεν δὲ πεσών. ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὁρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν.
Κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο.
Αἴας δ' ὁρμηθέντος, ἀκόντισε δουρὶ φαεινῷ
Ἕκτορος, ἀλλ' οὔπη χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῷ
Σμερδαλέῳ κεκάλυφθ'. ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα.
Ὦσε δέ μιν σθένεϊ μεγάλῳ, ὁ δὲ χάσσατ' ὀπίσσω.
Νεκρῶν ἀμφοτέρων. τοὺς δ' ἐξείρυσαν Ἀχαιοί,
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς.
Ἀρχοὶ Ἀθηναίων κόμισαν μετὰ λαὸν Ἀχαιῶν.
Ἴμβριον αὖτ' Αἴαντε μεμαῶτε θούριδος ἀλκῆς,
Ὥς τε δύ' αἶγα λέοντε κυνῶν ὑπὸ καρχαροδόντων.
Ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνά.
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε.
Ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
Τεύχεα συλήτην. κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
Κόψεν Ὀϊλιάδης κεχολωμένος Ἀμφιμάχοιο.
Ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου.
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι,
Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη,
Υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι.
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν.
Ὀτρυνέων Δαναούς. Τρώεσσι δὲ κήδε' ἔτευχεν,
Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
Ἐρχόμενος παρ' ἑταίρου. ὅ οἱ νέον ἐκ πολέμοιο,
Ἦλθε κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ.
Τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας,
Ἤϊεν ἐς κλισίης. ἔτι γὰρ πολέμοιο μενοίνα
Ἀντιάαν, τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
Εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι.
Ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι.
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ.
Ἰδομενεῦ Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Ὦ Θόαν. οὔτις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
Γινώσκω. πάντες γὰρ ἐπιστάμεθα πολεμίζειν.
Οὔτέ τινα δέος ἴσχει ἀκήριον, οὔτέ τις ὄκνῳ

Εἴκων,

κορυφῇ.] ἐξοχῇ. ἕκαθεν περιφαινομένοιο.] πόῤῥωθεν, ὁρωμένου, περιόπτου. τέρενα.] τρυφερά, ἁπαλά. ῥᾳδίως δυνάμενα τέρεσθαι. ἔτι δὲ χλωρά. ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ τοιαῦτα εἰρηκέναι. βράχε τεύχεα.] ὠνοματοπεποίηκεν. ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων, καὶ τὸ βρέχειν ὠνόμασται. ὁ δὲ λόγος τὰ περὶ αὐτοῦ τεύχεα ἔβραχεν. νισσόμενον.] παραγιγνόμενον. ὀρέξατο.] ἐξέτεινε. χροὸς εἴσατο.] διὰ τοῦ χρωτὸς διῆλθε. καρχαροδόντων.] ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἐχόντων. ῥωπήϊα.] οἱ τόποι ἐν οἷς ῥῶπες φύονται. ῥῶπες δὲ πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυμῶν. ὑψοῦ.] ἐν ὕψει. γαμφηλῇσι.] γόμφοις, σιαγόσι. παρὰ τὸ κεκάμφθαι. κορυστά.] κορυσταί, ὁπλῖται. συλήτην.] ὁ δυϊκόν ἐστιν. ἢ παρὰ τὸ συλησάτην. σφαιρηδόν.] δίκην σφαίρας. ἑλιξάμενος.] ἐπιστραφείς. υἱωνοῖο.] ἐκγόνου. ἰγνύην.] ἀγκύλην. ἢ τὸ ὄπισθεν τοῦ γόνατος. ἔνεικαν.] ἐκόμισαν. μενοίνα.] ἐνεθυμεῖτο. ἀντιάαν.] μεταλαμβάνειν, ἐφάπτεσθαι. εἰσάμενος.] ὁμοιωθείς.
Πλευρῶνι καὶ Καλυδῶνι.] ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος, εἰσὶ δὲ πόλεις Αἰτωλίας. Αἰτωλοῖσιν ἄνασσεν.] Αἰτωλὸς παῖς μὲν ἦν Ἐνδυμίωνος. ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν, κἀκεῖ τεκνοῦται Πλευρῶνα. ἀφ' οὗ ἡ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη. τούτου δὲ γίγνονται δύο παῖδες Κούρης καὶ Καλυδών. ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν. ποῦ τοι ἀπειλαί.] λείπει τὸ ἐστίν. ἔπειτα ἀπὸ ἄλλης διανοίας οἴχονται τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν. ὅσσον ἔγωγε γιγνώσκω.] ὅσον ἐγὼ γνωρίζω. ἐπιστάμεθα.] δυνάμεθα. ἔμπειρος ἔχομεν. ἴσχει.] ἐπέχει. ἀκήριον.] ἀψυχοποιόν.

ἀνδύετ.]

ἀνδύεται.] ἀναδύεται. μέλλει.] ἔοικε. μενεδήϊος.] ὑπομονητικὸς ἐν τῇ μάχῃ. μέλπηθρα.] ἐμπαίγματα, παίγνια. εἰώθασι γὰρ οἱ κύνες κορεσθέντες τοῖς λειψάνοις ἐμπαίζειν. λέων δὲ τὸ πᾶν ἐσθίει. σπεύδειν.] κακοπαθεῖν, ἐνεργεῖν. συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν.] ἀντὶ τοῦ συμφορητή. τὸ δὲ ὅλον καὶ ἡ τῶν δειλῶν καὶ ἀνανδρων καὶ μάλα λυγρῶν δύναμις εἰς ταυτὸ συνελθοῦσα, ἀρετὴν γεννᾷ. οὐδὲ μία πρόφασις λείπει τοῖς ἀνδρείοις. ἐάν γε καὶ δειλοὶ ἀλλήλοις συνιόντες ἐνάρετα δρῶσι. καὶ μάλα λυγρῶν ἀνδρῶν συμφορητὴ γίνεται ἀρετή. πόσῳ μᾶλλον ὅτε καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι. νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπιστάμεθα μάχεσθαι.] ἡμεῖς δὲ καὶ ἀνδρείοις δυνάμεθα μάχεσθαι. ἐπιστάμεθα γὰρ τὸ δυνάμεθα. ἂμ πόνον.] ἐπὶ τὸν πόλεμον. ἐναλίγκιος.] ὅμοιος. αἰγλήεντος.] λαμπροῦ. ἀρίζηλοι.] μεγάλως ἔκδηλοι. μετὰ γὰρ δόρυ χάλκεον ἤει οἰσόμενος.] ἀπῄει γὰρ δόρυ κομίσων. Μηριόνη Μόλου υἱὲ πόδας ταχὺ φίλταθ' ἑταίρων.] διὰ ἑνὸς στίχου καὶ τῆς συγγενείας ὑπέμνησε, καὶ τὴν τῶν ποδῶν ῥώμην ἐμαρτύρησε. καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς φιλοστοργίας ἐνεδείξατο. ἦέ τι βέβληαι.] ἢ τετρῶσαί τι μέρος τοῦ σώματος. ἦέ τευ ἀγγελίης ἐμ' ἤλυθες.] ἢ περί τινος ἀγγελίας πρὸς ἐμὲ παραγέγονας. τό νυ γάρ.] ἐκεῖνο γὰρ δή. δήεις.] εὑρήσεις. ἐνώπια.] οἱ ἐναντίοι κατὰ τὰς εἰσόδους τοῖχοι, ἵν' ᾖ δόρατα παμφανόωντα δηλονότι. καὶ ἐν τῇ θ̄ οὕτως· ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα. κταμένων.] ἀναιρουμένων. ἀποαίνυμαι.] ἀφαιροῦμαι. ἑκάς.] μακράν, πόρρω. γανόωντες.] λαμπρυνόμενοι, στίλβοντες. καί τοι ἐμοί.] καὶ ἐμοὶ δή. ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.] ἀλλ' οὐκ ἔστι μοι ἐγγὺς ὥστε λαβεῖν.

τίσι χρῆ

Εἴκων, ἀνδύεται πόλεμον κακόν. ἀλλ' ἄπε οὕτω
Μέλλει δὴ Διὶ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
Νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
Ἀλλὰ Θόαν καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα.
Ὀτρύνεις δὲ καὶ ἄλλον ὅθι μεθιέντα ἴδηαι,
Τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα, Ποσειδάων ἐνοσίχθων.
Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
Ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο.
Ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίῃσι μάχεσθαι.
Ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι, ταῦτα δ' ἅμα χρὴ
Σπεύδειν, αἴκ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν,
Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπιστάμεθα μάχεσθαι.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν.
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
Δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
Βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου.
Δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί.
Ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ' ἄρα οἱ θεράπων ἐῢς ἀντεβόλησεν,
Ἐγγὺς ἔτι κλισίης, μετὰ γὰρ δόρυ χάλκεον ἤει
Οἰσόμενος. τὸν δὲ προσέφη σθένος Ἰδομενῆος.
Μηριόνη Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων.
Τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
Ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή.
Ἠέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες, οὐδέ τοι αὐτὸς
Ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος, ἀντίον ηὔδα.
Ἰδομενεῦ Κρητῶν βουληφόρε χαλκοχιτώνων,
Ἔρχομαι εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
Οἰσόμενος τό νυ γὰρ κατεάξαμεν ὃ πρὶν ἔχεσκον.
Ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Δούρατα δ' αἴκ' ἐθέλῃσθα καὶ ἓν καὶ εἴκοσι δήεις,
Ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι, οὐ γὰρ ὀΐω
Ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
Τῷ μοι δούρατα ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα.
Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ,
Πόλλ' ἔναρα Τρώων, ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
Οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς.

Ἀλλὰ

τί σε χρὴ ταῦτα λέγεσθαι.] οἴομαι, οὐ χρή σε περὶ τούτων λέγειν τί. εἰ γὰρ δὴ παρὰ νηυσὶ λεγοίμεθα.] τὸ ἑξῆς εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα εἰς λόχον. οὐ δεῖ λέγειν ἔνθα τιὸν μένος. τὰ δὲ λοιπὰ διὰ μέσου, πρὸς τὸ, δυσυπομένητον φησὶ καὶ τοῖς ἀνδρειοτάτοις τὴν ἐνέδραν. λεγοίμεθα.] καταριθμοίμεθα. διαείδεται.] δείκνυται, φαίνεται. τρέπεται.] μεταβρέπεται, μεταβάλλεται. ἄλλυδις ἄλλῃ.] ἀπ' ἄλλου εἰς ἄλλο κατάστημα. ἐρητύεται.] κατέχεται. μετοκλάζει.] μετοκαθίζει ἐπ' ἀμφοτέρους πόδας. ὀκλὰξ γάρ ἐστι τὸ ἐπὶ γόνυ. ὅ ἐστιν ἐγκλίνει τὰ γόνατα διὰ δειλίαν μετοκαθίζων. πατάσσει.] κτυπεῖ, ἢ κινεῖται μείζονι παλμῷ ἀπὸ τοῦ πολλοῦ φόβου. κῆρας οἰομένῳ.] θάνατον προσδοκῶντι. πάταγος.] κτύπος. ταρβεῖ.] φοβεῖται. ἐπειδὰν πρῶτον ὀκίζηται λόχον ἀνδρῶν.] ἐπ' ἂν ἅπαξ καθεσθῇ ἐν τῇ ἐνέδρᾳ τῶν ἀνδρῶν.] ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ.] εὔχεται δὲ ὁ γενναῖος ἀνὴρ τὴν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις. δαῒ λυγρῇ.] τῇ χαλεπῇ μάχῃ. οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.] οὐδ' ἂν ἐνταῦθά τις καταμέμψοιτό σου τὴν δύναμιν καὶ τὴν προθυμίαν. βλεῖο.] βληθείς. πονεύμενος.] ἐνεργῶν, πολεμῶν. τυπείης.] ἐκ χειρὸς πληγείης. στέρνων.] στηθῶν. νηδύος.] τῆς γαστρός. ἀντιάσειεν.] ἀπαντήσοι, ἔλθοι. πρόσσω ἱεμένοιο.] ἔμπροσθεν ὁρμῶντος. μετὰ προμάχων ὀαριστύν.] ἐν τῇ τῶν προαγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ. λεγώμεθα.] διαλεγώμεθα, ὁμιλῶμεν. νηπύτιοι ὥς.] ὡς νήπιοι, καὶ ἄφρονες. ὑπερφιάλως.] ὑπερηφάνως, μεγάλως. μέγα πτολέμοιο μεμηλώς.] μεγάλως τοῦ πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος. πόλεμόνδε μέτεισιν.] εἰς τὸν πόλεμον παραγίγνεται. ἀταρβής.] ἄφοβος. ταλάφρονα.] καρτερικὸν καὶ ὑπομονητικὸν φρόνημα ἔχοντα, ἀνδρεῖον. Ἐφύρους.] οὕτω τοὺς Ἐφυραίους πάλαι καλουμένους. νῦν δὲ Κραννωνίους. ἱστέον δὲ ὅτι Ἐφύραι εἰσὶ δ. μία μὲν ἡ κατὰ Θεσσαλίαν. δευτέρα δὲ ἡ κατὰ τὴν Ἤπειρον. τρίτη δὲ ἡ τῆς Ἤλιδος, καὶ τετάρτη ἡ νῦν καλουμένη Κόρινθος. νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ, ὡς Ἀπολλόδωρος ἱστορεῖ. Φλέγυας.] τοὺς ἐν Φωκίδι οἰκοῦντας Γορτυνίους καλουμένους. οἳ ἐνέπρησαν τὸν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος. ἠὲ μετὰ Φλέγυας μεγαλήτορας.] Φλέγυες Γόρτυναν κατοικοῦντες, παρανομώτατον

Ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
Ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
Ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων,
Λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα,
Οἶδ' ἀρετὴν οἷός ἐσσι, τί σε χρὴ ταῦτα λέγεσθαι.
Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
Ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
Ἔνθ' ὅ, τε δειλὸς ἀνήρ, ὅς τ' ἄλκιμος ἐξεφαάνθη.
Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ
Οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.
Ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει
Κῆρας οἰομένῳ. πάταγος δέ τε γίνετ' ὀδόντων,
Τοῦ δ' ἀγαθοῦ, οὔτ' ἂρ τρέπεται, χρὼς, οὔτέ τι λίην
Ταρβεῖ. ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν
Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ.
Οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο,
Εἴπερ γάρ κε βλεῖο πονεύμενος. ἠὲ τυπείης,
Οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
Ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε,
Πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς
Ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ.
Ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.
Ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ,
Καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
Βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
Οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
Τῷ δὲ φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς
Ἕσπετο. ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν.
Τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον,
Ἠὲ μετὰ Φλέγυας μεγαλήτορας. οὐδ' ἄρα τώγε
Ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν,
Τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν,
Ἤισαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
Τὸν καὶ

καὶ λῃστρικὸν διάγοντες βίον. καὶ κατατρέχοντες τοὺς περιοίκους, χαλεπῶς ἠδίκουν. Θηβαῖοι δὲ πλησιόχωροι ὄντες, ἐδεδοίκεισαν καὶ μέχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος οἱ Διὸς καὶ Ἀντιόπης ἐτείχισαν τὰς Θήβας. εἶχε γὰρ Ἀμφίων λύραν παρὰ Μουσῶν αὐτῷ δεδομένην. δι' ἧς κατέθελγε καὶ τοὺς λίθους, ὥς τε καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτως ἐπέρχεσθαι. τούτων μὲν οὖν ζώντων, οὐδὲν οἱ Φλέγυες τοὺς Θηβαίους ἠδύναντο διαθεῖναι κακόν. θανόντων δὲ αὐτῶν ἐπελθόντες σὺν Εὐρυμάχῳ τῷ βασιλεῖ, τὰς Θήβας εἷλον. πλείονα δὲ τολμῶντες ἀδικήματα, κατὰ Διὸς προαίρεσιν, ὑπὸ Ἀπόλλωνος διεφθάρησαν, ὡς ἱστορεῖ Φερεκύδης.

Δεύεσθαι.]

δεύεσθαι.] προσδεῖσθαι. ἅδην ἐλόωσιν.] εἰς κόρον ἐλῶσιν. ὅ ἐστι πολέμου κορεσθῆναι ποιήσωσιν. αἰπύ.] μέγα, φοβερόν. ἐσσεῖται.] γενήσεται. δαλόν.] δαυλὸν, κεκαυμένον, ξύλον. ἔδοι.] ἐσθίει. Δημήτερος ἀκτήν.] τὸν σῖτον. ἐπεὶ κατεαγόμενος καὶ ἀλούμενος, ἄρτος γίγνεται. χαλκῷ τε ῥηκτός.] σιδηρόβρωτος. ῥηξήνορι.] ἀνδρείῳ, παρὰ τὸ ῥήξειν. χωρήσειε.] παραχωρήσειεν. ἔν γ' αὐτοσταδίῃ.] ἐν τῇ συσταδίην μάχῃ. εἴδομεν.] ἀντὶ τοῦ ἴδωμεν, θεασώμεθα. ἠέ τῳ.] ἤ τινι. ὀρέξομεν.] παράσχωμεν. ὁμόν.] ὅμοιον, ἰσορρεπές. λιγέων ἀνέμων.] τῶν κατὰ τὸν ἦχον ὀξέων. ἄμυδις.] ὁμόσε, ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. ἔφριξε δὲ μάχη.] ἐπυκνώθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει. φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι πυκνῶς. ταμεσίχροας.] τμητικὰς τοῦ χρωτός. παρὰ τὸ ταμῶ ῥῆμα. οὗ ὁ μέλλων ταμέσω. ἄμερδεν.] ἐστέρησεν, ἠμαύρου. οὐδ' ἀκάχοιτο.] οὐδὲ λυπηθείη αὖ. ἀμφὶς φρονέοντε.] διάφορα καὶ κεχωρισμένα φρονοῦντες δυϊκῶς. τετεύχατον.] ἔτευχον, κατεσκεύαζον. ὀρόθυνεν.] εἰς ὁρμὴν ἦγαγε. μετελθών.] ἐπ' αὐτοὺς παραγενόμενος. ἤχθετο.

Τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε.
Δευκαλίδη, πῆ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον,
Ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσον,
Ἢ ἐπ' ἀριστερόφιν, ἐπεὶ οὔποθι ἔλπομαι οὕτω,
Δεύεσθαι πολέμοιο κάρη κομόωντας Ἀχαιούς.
Τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω, Τεῦκρός θ' ὃς ἄριστος Ἀχαιῶν
Τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ.
Οἵ μιν ἅδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν,
Αἰπύ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων,
Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
Ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκτήν.
Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν,
Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν.
Ἔν γ' αὐτοσταδίῃ, ποσὶ δ' οὔπως ἔστιν ἐρίζειν,
Νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
Εἴδομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
Ὣς φάτο. Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ,
Ἦρχ' ἴμεν ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ἧμιν ἀνώγει,
Οἱ δ' ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν.
Αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι δαιδαλέοισι
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν.
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος, ἐπὶ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι,
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
Οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
Ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ,
Ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
Μακρῇς, ἃς εἶχον ταμεσίχροας, ὄσσε δ' ἄμερδεν,
Αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν.
Ἐρχομένων ἄμυδις, μάλα κεν θρασυκάρδιος εἴη.
Ὣς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο,
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ,
Ἀνδράσιν ἡρώεσσι τετεύχατον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
Κυδαίνων Ἀχιλῆα πόδας ταχύν. οὐδ' ὅγε πάμπαν
Ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό.
Ἀλλὰ Θέτιν κύδαινε. καὶ υἷα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,

Λάθρη ὑπεξαναδὺς πολιῆς ἁλός. ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη.
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
Τῶ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε.
Λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ἐοικώς.
Τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο,
Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν.
Ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
Ἔνθα μεσαιπόλιός περ ἐὼν Δαναοῖσι κελεύσας,
Ἰδομενεὺς Τρώεσσιν ἐπάλμενος, ἐν φόβον ὦρσε.
Πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα.
Ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει.
Ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην.
Κασσάνδρην ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον
Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπέσχετο, καὶ κατένευσε
Δωσέμεναι, ὁ δὲ μάρναθ' ὑποσχεσίῃσι πιθήσας
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ.
Καὶ βάλεν ὕψι βιβάντα τυχών, οὐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε.
Δούπησε δὲ πεσών, ὁ δ' ἐπεύξατο φώνησέν τε.
Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
Εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ, ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
Καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν.
Δοῖμεν δ' Ἀτρεΐδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
Ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
Ἀμφὶ γάμῳ, ἐπεὶ οὔτοι ἐεδνωταὶ κακοί εἰμεν.
Ὣς εἰπών, ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην
Ἥρως Ἰδομενεύς, τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ
Πεζὸς πρόσθ' ἵππων, τὼ δὲ πνείοντε κατ' ὤμων
Αἰὲν ἔχ' ἡνίοχος θεράπων, ὁ δὲ ἵετο θυμῷ.
Ἰδομενῆα βαλεῖν, ὁ δέ μιν φθάμενος βάλε δουρὶ
Λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
Ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς.
Ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι.
Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς
Βεβρυχὼς κόνιος δεδραγμένος αἱματοέσσης.
Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν.
Οὐδ' ὅγε τόλμησεν δηΐων ὑπὸ χεῖρας ἀλύξας
Ἂψ ἵππους στρέψαι, τὸν δ' Ἀντίλοχος μενεχάρμης
Δουρὶ μέσον περόνησε τυχών, οὐδ' ἤρκεσε θώρηξ

ἤχθετο.] ἐβαρεῖτο, ἐλυπεῖτο. ἦ μάν.] ὄντως δή, ἀληθῶς δή. ἠδ' ἴα.] τὸ πλῆρες ἡ δὲ ἴα. ἵνα ἡ καὶ μόνη. πάτρη.] ἐκ τοῦ αὐτοῦ πατρός, γένος ἡ πατρίς. ἀμφαδίην.] φανερῶς. τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν.] ὁ δὲ Ζεὺς καὶ ὁ Ποσειδῶν τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τανύσαντες κατὰ ἀμφοτέρων τῶν στρατῶν, ἔδησαν ἰσχυρῷ δεσμῷ. ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο. τέλος γὰρ ἀποτίθεται ἀλληγορικῶς τὰς ἑκατέρωθεν ῥοπὰς ἐπιπεπλεγμένως μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων κατὰ Ποσειδῶνος καὶ Διὸς γνώμην τῶν ἐν καταπεπλεγμένων ἀπὸ τῶν ῥοπῶν, τῶν μὴ δυναμένων μήτε ῥαγῆναι μήτε λυθῆναι. ταῦτα οὖν ἀλληγορεῖ εἰς τὸ ἰσόρροπον αὐτῶν τὴν ἰσχὺν συστῆναι διὰ τὰς τῶν θεῶν βοηθείας. πεῖραρ.] πέρας, τέλος. ἐπαλλάξαντες.] ἐπιπλέξαντες τὰς κῆρας· καὶ οἱονεὶ δήσαντες. ἄλυτον.] ἀντὶ τοῦ δύσλυτον. μεσαιπόλιος.] ὁ λεγόμενος σπαρτοπόλιος ὡς διεσπαρμέναι εἰσὶν αἱ πολιαί. ὁ μεσῆλιξ. ἐν φόβον ὦρσεν.] ἐνέβαλλε φυγήν. Καβησόθεν ἔνδον ἐόντα.] ἀπὸ Καβησοῦ πόλεως ἐπιδεδημηκότα. ἔστι δὲ πόλις Θρᾴκης. μετὰ κλέος εἰληλούθει.] ἦλθε τὴν τοῦ πολέμου δόξαν παραγεγόνει. ἀνάεδνον.] ἄνευ τῶν πρὸ γάμου διδομένων δώρων. ὑποσχεσίῃσι πιθήσας.] ταῖς ὑποσχέσεσι πιστεύσας. ὕψι βιβάντα.] ὑψηλὰ διαβαίνοντα. αἰνίζομαι.] ἐπαινῶ. συνώμεθα.] συνθήκην ποιησώμεθα.

ἀμφὶ γάμῳ.] περὶ γάμου. ἐεδνωταί.] προικοδόται. ἀμύντωρ.] βοηθός. πνείοντε κατ' ὤμων.] καταπνέοντες αὐτοῦ τὸ μετάφρενον. ἵετο.] προεθυμεῖτο. διαπρὸ δὲ χαλκὸν ἔλασσε.] διήλασε δέ, ὅ ἐστι διεπέρασε τὸν σίδηρον. ἀχερωΐς.] ἡ λεύκη· παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους στεψαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ. βλωθρή.] μακρά, παρὰ τὸ βλώσκειν, ὅ ἐστι βαίνειν· αὐξὴς γάρ.

νεήκεσι.] νεωστὶ ἠκονημένοις. βεβρυχώς.] βρυχόμενος, σπώμενος, συντρίβων τοὺς ὀδόντας· ἢ δάκνων. μεμίμηται δὲ τὸ γιγνόμενον πάθος περὶ τοὺς βιοθανοῦντας. εἰώθασι γὰρ τοὺς ὀδόν-

τας βρύχειν. ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας.] ἐξεπλάγη δὲ καὶ ἔκφρων ἐγένετο ὁ αὐτοῦ ἡνίοχος. εὐεργέος.] ἐπιμελῶς κατεσκευασμένου. Ἀσίου ἀχνύμενος.] ὑπὲρ Ἀσίου λελυπημένος. δινωτήν.] εὖ περιδεδινημένην καὶ κυκλοτερῆ. ἐάλη.] συνεστάλη. καρφαλέον.] ξηρόν. ὅθεν καὶ ὁ καρπὸς καὶ τὸ κάρφος. ἐπιθρέξαντος.] ἐπιψαύσαντος, ἢ ἐπελθόντος. ἄτιτος.] ἀτιμώρητος. πομπόν.] συνοδόν. ἄϋσεν.] ἤχησεν. πυλάρταο.] τὰς πύλας ἰσχυρῶς ἐφαρμόζοντος. ἐρεβεννῇ.] σκοτεινῇ. ὤπυιεν.] ἐγάμησε. πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο.] πασῶν γὰρ τῶν ὁμηλίκων τῷ κάλλει διέφερε. θέλξας.] ἀπατήσας, ἀμαυρώσας. οὔτ' ἀλέασθαι.] οὔτε ἐκκλῖναι καὶ φυγεῖν. ὑψιπέτηλον.] ἐφ' ὕψους τὰ φύλλα ἔχον. ἤρκει.] ἀπήρυκεν, ἐκώλυεν. αὖον.] ξηρόν, ὀξύ. ἄϋσεν.] ἐβόησεν. ἐρεικόμενος.] σχιζόμενος, διακοπτόμενος ὁ χιτών. δούπησεν.] ἐψόφησεν, ἀπέθανεν ἐκ τοῦ παρακολουθοῦντος.

ἔνθα δ'

Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐνὶ γαστέρι πῆξεν.
Αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου.
Ἵππους δ' Ἀντίλοχος μεγαθύμου Νέστορος υἱὸς
Ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δηΐφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν, ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς, κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐΐσῃ
Τὴν, ἄρ' ὅ γ' ἐν ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν.
Τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος.
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
Ἔγχεος· οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν.
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα ποιμένα λαῶν.
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας.
Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά ἕ φημι,
Εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
Γηθήσειν κατὰ θυμὸν, ἐπεί ῥά οἱ ὤπασα πομπόν,
Ὣς ἔφατ' Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν.
Ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου.
Ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψε.
Τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι.
Μηκιστεὺς Ἐχίοιο πάϊς καὶ δῖος Ἀλάστωρ,
Νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα. ἵετο δ' αἰεὶ
Ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι.
Ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
Ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱὸν
Ἥρω' Ἀλκάθοον, γαμβρὸς δ' ἦν Ἀγχίσαο.
Πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν.
Τὴν περὶ κῆρι φίλησε πατὴρ, καὶ πότνια μήτηρ
Ἐν μεγάρῳ, πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο.
Κάλλεϊ καὶ ἔργοισιν, ἰδὲ φρεσί, τοὔνεκα καί μιν
Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ.
Τὸν τόθ' ὑπ' Ἰδομενῆϊ, Ποσειδάων ἐδάμασσε.
Θέλξας ὄσσε φαεινὼ, πέδησε δὲ φαίδιμα γυῖα.
Οὔτε γὰρ ἐξ ὀπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι.
Ἀλλ' ὥς τε στήλην, ἢ δένδρεον ὑψιπέτηλον.
Ἀτρέμας ἑσταότα, στῆθος μέσον οὔτασε δουρί.
Ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον.
Δὴ τότε γ' αὖον ἄϋσεν ἐρεικόμενος περὶ δουρί,
Δούπησεν δὲ πεσὼν, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει.
Ἥ ῥά οἱ ἀσπαίρουσα, καὶ οὐρίαχον πελέμιζεν

ἔγχεος,

ἔγχεος, ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης,
Ἰδομενεὺς ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας.
Δηΐφοβ', ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι,
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι οὕτως.
Δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμοῖο,
Ὄφρα ἴδῃς, οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω.
Ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον,
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἐμὲ τίκτε, πολέεσσ' ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ, νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
Σοί τε κακὸν καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.
Ὣς φάτο. Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν
Ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
Ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἶος.
Ὧδε δέ οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι.
Βῆναι ἐπ' Αἰνείαν, τὸν δ' ὕστατον εὗρεν ὁμίλου
Ἑσταότ'. αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
Οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔτι τίεσκεν.
Ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα.
Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ,
Γαμβρῷ ἀμυνέμεναι εἴπερ τί σε κῆδος ἱκάνει.
Ἀλλ' ἕπευ Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ
Γαμβρὸς ἐὼν, ἔθρεψε δόμοις ἔνι, τυτθὸν ἐόντα,
Τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
Ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.
Βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
Ἀλλ' ἔμεν' ὡς ὅτε τίς σῦς οὔρεσιν ἀλκὶ πεποιθὼς,
Ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
Χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν.
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον. αὐτὰρ ὀδόντας
Θήγει ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας,
Ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, οὐδ' ὑπεχώρει
Αἰνείαν ἐπιόντα βοηθόον. αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηΐπυρόν τε.
Μηριόνην τε, καὶ Ἀντίλοχον μήστωρας ἀϋτῆς.
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
Δεῦτε φίλοι καί μ' οἴῳ ἀμύνετε, δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν.
Ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν.
Καί δ' ἔχει ἥβης ἄνθος, ὅτε κράτος ἐστὶ μέγιστον.
Εἰ γὰρ ὁμηλικίῃ γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ.
Αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
Ὣς ἔφαθ'. οἱ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες.
Πλησίοι ἔστησαν σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο, οἷς ἑτάροισι.

Δηΐφοβόν τε,

ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.] καθ' ὃ μέρος ἐκλύεται ἡ τοῦ δόρατος κίνησις. ἀσπαίρουσα.] κινουμένη, πάλλουσα. οὐρίαχον.] τὸν σαυρωτῆρα τοῦ δόρατος. τουτέστι τὸ ὄπισθεν μέρος, ὃ καὶ γρόσφον καὶ στόρθυγγά φασι. ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι τρεῖς ἑνὸς ἀντιπεφάσθαι.] ἆρα ἀξίως καὶ δεόντως δοκοῦμέν σοι αὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς πεφονευκότες. μερμήριξεν.] ἐδόνησε, διεσκέψατο. ἐπίουρον.] φύλακα. τῷ τόνῳ δὲ ἀναγνωστέον προπαροξυτόνως ὡς ἐπίκουρον. ἑταρίσσαιτο.] ἑταῖρον καὶ συνεργὸν λάβοι.

δοάσσατο.] ἔδοξε. βῆναι ἐπ' Αἰνείαν.] Τροίας ἁλούσης, Αἰνείας Ἀγχίσην παραλαβὼν τὸν πατέρα, ἔφυγε. ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω, ᾤκει σὺν τῷ πατρί. καὶ Ἀγχίσου μὲν πρὸς τῷ Καλαύρῳ ὄρει πλησίον Ἀνθέμου ποταμοῦ τελευτήσαντος, θάψας δὲ αὐτὸν Αἰνείας, ὅπου καὶ νῦν τάφος ἐστὶν Ἀγχίσου λεγόμενος ἐν Πυκνῇ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης, πόλιν ἔκτισε τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν. τελευτήσαντος δὲ τούτου ὁ ἐξ αὐτῆς γενόμενος παῖς, λάθρα ἐπὶ τὴν πατρῴαν παραγενόμενος, καὶ πόλιν ἀναστήσας, παραλαβών τε τὸν στρατὸν, μετῴκισεν εἰς Ἰταλίαν. ἐπεμήνιεν.] ἐπιμόνως ὠργίζετο. οὔτι τίεσκεν.] οὐδαμῶς ἐτίμα. κῆδος.] συγγένεια, ὅτε δὲ λύπη. μεμηλώς.] ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος. τηλύγετον ὥς.] ὡς παῖδα μονογενῆ. οἰοπόλῳ.] ἤτοι ἐν ᾧ ὄϊες ἀναστρέφονται, ὅ ἐστι πρόβατα. πολεῖν γὰρ τὸ ἀναστρέφεσθαι. ἢ ἐν ᾧ οἶός τις καὶ μόνος πολεῖται. ἐξ οὗ δηλοῖ τῶν ἐρήμων. φρίσσει.] ἵστησι. θήγει.] ἀκονᾷ. ἀσκάλαφον.] ἀσκάλαφος ὁ λίαν σκληρὸς παρὰ τὸ ἀσκαλὲς τῆς ἁφῆς. ἥβης ἄνθος.] τὸ ἀκρότατον τῆς ἀκμῆς. ὁμηλικίῃ.] ἀντὶ τοῦ ὁμήλικες. ἕνα φρεσὶ θυμὸν ἔχοντες.] ἓν καὶ αὐτὸ τὸ φρονοῦντες.

κτίλον.]

Δηΐφοβόν τε, Πάριν τ' ἠδ' Ἀγήνορα δῖον.
Οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν, αὐτὰρ ἔπειτα
Λαοὶ ἕποντ', ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα.
Πιόμεν' ἐκ βοτάνης, γάνυται δ' ἄρα τε φρένα ποιμήν.
Ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει.
Ὣς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
Οἱ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν.
Μακροῖσι ξυστοῖσι περὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέων κονάβιζε τιτυσκομένων καθ' ὅμιλον
Ἀλλήλων, δύο δ' ἄνδρες ἀρήϊοι ἔξοχον ἄλλων,
Αἰνείας τε καὶ Ἰδομενεὺς ἀτάλαντοι Ἄρηϊ,
Ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος.
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν, ἠλεύατο χάλκεον ἔγχος.
Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης,
Ὤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην.
† Ῥῆξε δὲ οἱ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἤφυσ', ὁ δ' ἐν κονίῃσι πεσὼν, ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
Ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ
Ὤμοιιν ἀφελέσθαι, ἐπείγετο γὰρ βελέεσσιν.
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι.
Οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑὸν βέλος, οὔτ' ἀλέασθαι.
Τῷ ῥα, καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ.
Τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
Τοῦ δὲ βάδην ἀπιόντος, ἀκόντισε δουρὶ φαεινῷ
Δηΐφοβος, δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
Ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δουρὶ
Υἱὸν Ἐνυαλίοιο, δι' ὤμου ὄβριμον ἔγχος
Ἔσχεν, ὁ δ' ἐν κονίῃσι πεσὼν, ἕλε γαῖαν ἀγοστῷ.
Οὐδ' ἄρα πώ τι πέπυστο, βριήπυος ὄβριμος Ἄρης,
Υἱὸς ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ.
Ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
Ἧστο Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
Ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
Οἱ δ' ἀμφ' Ἀσκαλάφῳ αὐτοσχεδὸν ὡρμήθησαν.
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
Ἥρπασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ.
Δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
Αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος αἰγυπιὸς ὣς.
Ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, τὸν δὲ Πολίτης
Αὐτοκασίγνητος περὶ μέσσῳ χεῖρε τιτήνας,
Ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους

Ὠκέας

κτίλον.] κριόν. πιόμενα.] πιόμενα. ἐκ βοτάνης.] ἀντὶ τοῦ μετὰ τὴν βοτάνην καὶ νομήν. γάνυται.] διαχεῖται, χαίρει. ξυστοῖσι.] τοῖς ἐξεσμένοις δόρασιν. ἵεντο.] προεθυμοῦντο.

θώρηκος γύαλον.] τὸ κοῖλον τοῦ θώρακος. διὰ δ' ἔντερα χαλκὸς ἤφυσε.] διήντλησε ἢ καὶ διέκοψε τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. μεθ' ἑόν.] ἐπὶ τὸ ἴδιον. ἀλέασθαι.] διαφυγεῖν μετὰ δέους. βάδην ἀπιόντος.] ἠρέμα ἀπερχομένου. δὴ γάρ οἱ ἔχε κότον ἐμμενὲς αἰεί.] ἐπιμόνως γὰρ αὐτῷ ὠργίζετο. ἔσχε.] διέσχε, διῆλθεν. οὐδ' ἄρα πώ τι πέπυστο.] οὐδέπω ἐμεμαθήκει. ζήτηται δὲ πῶς θεὸς ὢν ὁ Ἄρης οὐκ ᾔδει περὶ τοῦ υἱοῦ. ῥητέον οὖν ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ σωματικῶς λαμβανόμενοι, ἀνθρωποειδῶς ἐπίστανται καὶ ἀθανασίᾳ μόνον διαφέροντες ἀνθρώπων, τοῖς αὐτοῖς ἐνέχονται πάθεσι.

† Ῥῆξε δὲ θώρ.

βριήπυος.] μέγα καὶ βαρὺ βοῶν. παρὰ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. ἐελμένος.] συγκεκλεισμένος. ἐεργόμενοι.] εἰργόμενοι, κωλυόμενοι. πήληκα.] περικεφαλαίαν λόφον. βόμβησεν.] ἤχησε. πρυμνοῖο βραχίονος.] τοῦ ἐσχάτην ἔχοντος ἀπὸ τῆς ἐκφύσεως τὴν ἀρχὴν ἤγουν τὸν νῶτον. περὶ μέσσῳ χεῖρε τιτήνας.] περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας καὶ συλλαβών.

δυσηχέος.] κακὸν ἦχον φέροντος. νευτάτου.]

Ὠκέας. οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες.
Οἵ τόν γ' ποτὶ ἄστυ φέρον βαρέα στενάχοντα
Τειρόμενον, κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρός.
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει,
Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην ἐπορούσας,
Λαιμὸν τύψ', ἐπὶ οἱ τετραμμένον ὀξέϊ δουρί.
Ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη
Καὶ κόρυς, ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
Οὔτασ' ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει.
Τὴν ἀπὸ πᾶσαν ἔκερσεν. ὁ δ' ὕπτιος ἐν κονίῃσι,
Κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
Παπταίνων, Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος,
Οὔταζον σάκος εὐρὺ παναίολον, οὐδὲ δύναντο,
Εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ
Ἀντιλόχου, περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων,
Νέστορος υἱὸν ἔρυτο, καὶ ἐν πολλοῖσι βέλεσσιν.
Οὐ μὲν γάρ ποτ' ἄνευ δηΐων ἦν, ἀλλὰ κατ' αὐτοὺς,
Στρωφᾶτ', οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ
Σειόμενον ἐλέλικτο, τιτύσκετο δὲ φρεσὶν ᾗσιν
Ἤ τευ ἀκοντίσσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.
Ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον
Ἀσιάδην. ὅς οἱ οὖτα σάκος μέσον ὀξέϊ χαλκῷ.
Ἐγγύθεν ὁρμηθεὶς, ἀμενήνωσεν δέ οἱ αἰχμὴν
Κυανοχαῖτα Ποσειδάων βιότοιο μεγήρας.
Καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥστε σκῶλος πυρίκαυστος.
Ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίης,
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
Μηριόνης δ' ἀπιόντα μεταστόμενος βάλε δουρὶ.
Αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα,
Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.
Ἔνθα οἱ ἔγχος ἔπηξεν. ὁ δ' ἑσπόμενος περὶ δουρὶ
Ἤσπαιρ', ὡς ὅτε βοῦς, τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
Ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν.
Ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ οὔτι μάλα δήν.
Ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν,
Ἥρως Μηριόνης, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην,
Θρηϊκίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
Ἡ μὲν ἀποπλαγχθεῖσα, χαμαὶ πέσε, καί τις Ἀχαιῶν
Μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε.
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε βοὴν ἀγαθὸν Μενέλαον.

Βῆ δ'

νεουτάτου.] νεοτρώτου. λαιμόν.] τὸν βρόγχον. ἐπὶ δ' ἀσπὶς ἑάφθη.] ἐπικατήχθη δὲ αὐτῷ ἡ ἀσπίς, ὅ ἐστιν ἐπεκατηνέχθη παρὰ τὸ ἕπεσθαι. θυμοραϊστής.] ὁ τὴν ψυχὴν φθείρων. ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν.] ὅλην δὲ ἀπέτεμε τὴν νωτιαίαν φλέβα. ἔκερσεν.] ἔτεμεν, ἔκειρεν. ἀνὰ νῶτα θέουσα.] κατὰ τὰ νῶτα τεταμένη. περισταδόν.] περιϊστάμενοι. στρωφᾶτο.] ἀνεστρέφετο. σειόμενον.] κινούμενον.

ἐλέλικτο.] εἱλεῖτο, ἐστρέφετο. ἤ τευ.] ἤ τινος. ἀμενήνωσεν.] ἀσθενῆ γενέσθαι ἐποίησε. βιότοιο μεγήρας φθονήσας τοῦ βίου ὅ ἐστι τῆς ζωῆς. σκῶλος.] ἀκανθώδης εἶδος, ἢ πυρωθεῖσα ὀξυτονωτέρα γίγνεται. πυρίκαυστος.] περικεκαυμένος, ἢ ἐμπεφλεγμένος. μεταστόμενος.] ἐπιδιώξας, ἐπακολουθήσας.

ἔνθα μάλιστα γίγνετ' Ἄρης ἀλεγεινός.] ὅπου ἀλγεινὴ καὶ δεινὴ γίγνεται ἡ τρῶσις. ἑσπόμενος περὶ δουρί.] κατασχεθεὶς, περιπαρεὶς τῷ δόρατι. ἤσπαιρεν.] ἐσκάριζεν, ἐκινεῖτο. ἰλλάσι.] τοῖς δὲ ἱμάντων πεπλεγμένοις δεσμοῖς. ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.] ἀπέκοψε δὲ τὴν περικεφαλαίαν. ἀποπλαγχθεῖσα.] ἀποκρουσθεῖσα.

ὁμαρτήτην.]

Βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι
Ὀξὺ δόρυ κραδάων, ὁ δὲ τόξου πῆχυν ἄνελκε,
Τὼ δ' ἄρ' ὁμαρτήτην, ὁ μὲν ἔγχεϊ ὀξυόεντι
Ἵετ' ἀκοντίσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
Θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός.
Ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν
Θρώσκουσι κύαμοι μελανόχροες ἢ ἐρέβινθοι,
Πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ,
Ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
Πολλὸν ἀποπλαγχθεὶς, ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρεΐδης δ' ἄρα χεῖρα βοὴν ἀγαθὸς Μενέλαος.
Τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐΰξοον, ἐν δ' ἄρα τόξῳ,
Ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων
Χεῖρα παρακρεμάσας. τὸ δ' ἐφέλκετο χάλκεον ἔγχος.
Καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ.
Αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ
Σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο,
Ἤϊε. τὸν δ' ἄγε μοῖρα κακὴ, θανάτοιο τέλος δὲ,
Σοὶ Μενέλαε δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ οἱ, ἐτράπετ' ἔγχος.
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
Οὔτασεν, οὐ δὲ διὰ πρὸ, δυνήσατο χαλκὸν ἐλάσσαι.
Ἔσχετο γὰρ σάκος εὐρὺ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
Ἔγχος. ὁ δὲ φρεσὶν ᾗσι χάρη, καὶ ἐέλπετο νίκην.
Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον,
Ἆλτ' ἐπὶ Πεισάνδρῳ. ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
Ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ
Μακρῷ ἐϋξέστῳ. ἅμα δ' ἀλλήλων ἐφίκοντο.
Ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης,
Ἄκρον ὑπὸ λόφον αὐτὸν. ὁ δὲ προσιόντα μέτωπον,
Ῥινὸς ὕπερ πυμάτης. λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
Πὰρ ποσὶν αἱματόεντε χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἰδνώθη δὲ πεσὼν, ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων.
Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα,
Λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι δεινῆς ἀκόρητοι ἀϋτῆς.
Ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
Ἣν ἐμὲ λωβήσασθε κακαὶ κύνες. οὐδέ τι θυμῷ,
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
Ξεινίου, ὅς τε ποθ' ὔμμι διαφθέρσει πόλιν αἰπήν,
Οἵ μευ κουριδίην ἄλοχον, καὶ κτήματα πολλὰ
Μὰψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ

Νῦν αὖτ'

ὁμαρτήτην.] ὁμοῦ ἀφῆκαν. πτυόφιν.] πτύου. πτύον δέ ἐστιν ἐν ᾧ τὰ ἠλοημένα γεννήματα ἀναβάλλουσι, χωρίζοντες τῶν ἀχύρων. ὁ δὲ τύπος παραγωγή.

θρώσκουσιν.] ἀποπηδῶσιν. λιγυρῇ.] ὀξέως πνεούσῃ αὔρᾳ. ἐλήλατο.] ἐνεπάγη. ἐϋστρόφῳ οἰὸς ἀώτῳ.] καλῶς περιεστραμμένῳ ἐρίῳ. τουτέστιν ἐρίᾳ σφενδόνῃ. οἰὸς γὰρ ἀώτῳ, προβάτου ἄνθει. ὅ ἐστιν ἐρίῳ. ἔσχετο.] ἐπεκώλυσεν. ἐλαΐνῳ ἀμφὶ πελέκκῳ.] τῷ τοῦ πελέκεως στελεῷ παρὰ τὸ πεπελεκῆσθαι. περὶ οὖν τῷ ἐλαΐνῳ στελεῷ φησιν.

ἅμα δ' ἀλλήλων ἐφίκοντο.] ὑπὸ τὸ αὐτὸ ἔτυχον ἀλλήλων. λόφον.] χαίτην. ῥινὸς ὕπερ πυμάτης.] τὸν ὑπὲρ τὴν ῥῖνα τόπον, τὸ μέτωπον. λάκεν.] ἐσχίσθη, ὀνοματοποιία ὁ τρόπος. τὼ δέ οἱ ὄσσε παρ ποσὶν αἱματόεντα.] τὸ δὲ ὑγρὸν τὸ κατὰ τοὺς ὀφθαλμοὺς ἐξέρρυη αὐτοῦ μετὰ τοῦ αἵματος. λείψετέ θην.] καταλείψετε δή. ἄλλης λώβης.] ἄλλης ὕβρεως. οὐκ ἐπιδευεῖς.] οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις ἐστί. ἐριβρεμέτεω.] μεγάλως ἠχοῦντος. διαφθέρσει.] διαφθερεῖ, ἀπολέσει. ἐπεὶ φιλέεσθε.] ὅτι φιλοφροσύνης καὶ ξενίας ἐτύχετε.

ἀλλὰ

Νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
Πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
Ἀλλά ποτ' ἰσχήσεσθε καὶ ἐσσύμενοί περ Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σε φασὶ περὶ φρένας ἔμμεναι ἄλλων
Ἀνδρῶν ἠδὲ θεῶν, σέο δ' ἐκ τάδε πάντα πέλονται.
Οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
Φυλόπιδος κορέσασθαι ὁμοιΐου πολέμοιο.
Πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος,
Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
Τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι,
Ἢ πολέμου, Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.
Ὣς εἰπών, τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
Συλήσας, ἑτάροισι δίδου Μενέλαος ἀμύμων.
Αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
Ἔνθά οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίζων
Ἐς Τροίην. οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν,
Ὅς ῥα, τότ' Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρὶ
Ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων
Πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν.
Καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν. αὐτὰρ ὀϊστὸς
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
Ἑζόμενος δὲ κατ' αὖθι φίλων ἐν χερσὶν ἑταίρων,
Θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ.
Κεῖτο ταθείς. ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο.
Ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρήν.
Ἀχνύμενοι, μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.
Ποινὴ δ' οὔτις παιδὸς ἐγίνετο τεθνειῶτος.
Τοῦ δὲ Πάρις, μάλα θυμὸν ἀποκταμένοιο χολώθη.
Ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσι,
Τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε' ὀϊστόν.
Ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱός.
Ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων.
Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινε.
Πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος.
Νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισι.
Ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι,
Τῷ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν.
Νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ὦκα δὲ θυμὸς
Ὤιχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.

Ἕκτωρ

ἀλλά ποτ' ἰσχήσεσθε.] ἀλλὰ φεύξεσθαι δή που. ἀλλὰ ποθι, σύνδεσμος παραπληρωματικός· τουτέστι πόρρω κρατηθήσεσθε. περὶ φρένας ἔμμεναι ἄλλων.] φρονήσει διαφέρειν τῶν λοιπῶν θεῶν. σέο δ' ἐκ τάδε πάντα πέλονται.] ἐκ σοῦ γὰρ πάντα ταῦτα γίγνονται.

ἀτάσθαλον.] ἄδικον. ἐξ ἔρον εἶναι.] πρόεσθαι τὴν ἐπιθυμίαν· κορεσθῆναι. ἀμφεπένοντο.] περὶ αὐτὸν ἠσχολοῦντο. ἀνέσαντες.] ἀναθέντες, ἀναβιβάσαντες. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.] μετ' αὐτῶν δὲ ὁ πατὴρ ἐπορεύετο δάκρυσι καταρρεόμενος. ζητεῖται δὲ πῶς ἀνωτέρω ἀνῃρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης, τανῦν δύναται ἀκολουθεῖν τῷ παιδὶ καὶ κλαίειν. ἔστι δὲ λέγειν ὅτι δύο Πυλαιμένεις Παφλαγόνων ἡγεμόνας συνίστησιν ὁ Ποιητής· ὡς Αἴαντας δύο, καὶ Εὐρυβάτας δύο κήρυκας, τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως. ἔνιοι δὲ πιθανῶς μεταγράφουσι. μετὰ δ' οὔ σφισι πατὴρ κίε δάκρυα λείβων. ποινὴ δ' οὔτις παιδὸς ἐγίγνετο τεθνειῶτος.] ἐπεὶ οὐχ ὁ πατὴρ τιμωρεῖ αὐτῷ, ἀλλ' ὁ Ἀλέξανδρος χαλεπήνας ὑπὲρ τοῦ ἀνῃρημένου, Εὐχήνορα τὸν Κορίνθιον ἀναιρεῖ. Κορινθόθι οἰκία ναίων.] ἐν Κορίνθῳ κατοικῶν· τὴν οἰκίαν ἔχων. θωήν.] τὴν ζημίαν. λέγει δὲ τὸ τῆς στρατείας ἐπιζήμιον.

πρὸς δὲ

πρὸς δὲ σθένει αὐτὸς ἄμυνε.] προσεβοήθησε δὲ καὶ αὐτὸς τῇ δυνάμει αὐτοῦ. χθαμαλώτατον.] κοιλότατον.

Ἰάονες.] Ἴωνες. λέγει δὲ τοὺς Ἀθηναίους ἀπὸ Ἴωνος τοῦ Κρεούσης τῆς Ἐρεχθέως καὶ Ξούθου τοῦ Ἕλληνος. ἑλκεχίτωνες.] βαθεῖς χιτῶνας ἔχοντες, ἄζωστοι.

Φθῖοι.] οἱ τὴν ὑπὸ Πρωτεσιλάου Φθίαν πόλιν Θεσσαλίας οἰκοῦντες. οἱ δὲ τὴν ὑπὸ Ἀχιλλέως Φθιῶται καλοῦνται. φαιδιμόεντες.] ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσι. προλελεγμένοι.] προκατηριθμημένοι. ἣν ἔχ' Ὀϊλεύς.] ἣν ἐγεγαμήκει Ὀϊλεύς. προφθίων.] πρὸ τῶν Φθίων. ναῦφι.] ὑπὲρ τῶν νεῶν. βόε οἴνοπε.] ἤτοι μέλανες, ἢ ξανθοί. τιταίνετον.] τείνουσιν, ἕλκουσι. πρυμνοῖσι κεράεσι.] τοῖς ἐσχάτοις μέρεσι τῶν κεράτων τοῖς πρὸς τὴν ἔκφυσιν. ἀνακηκίει.] ἀναφέρεται. ἀμφὶς ἐέργει.] διείργει, χωρίζει. ὦλκα.] τὴν αὔλακα. τέμνει δέ τε τέλσον ἀρούρης.] τέμνεται δὲ εἰς βάθος γῆς. τέλσον.] τέλος. ἐξεδέχοντο.] διεδέχοντο. οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ.] οὐ γὰρ ὑπέμενον τὴν συστάδην μάχην. συνεκλονέοντο.]

Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδει
Ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
Λαοὶ ὑπ' Ἀργείων, τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
Ἔπλετο, τοῖος γὰρ γαιήοχος ἐννοσίγαιος
Ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν,
Ἀλλ' ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο
Ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων.
Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου.
Θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι, αὐτὰρ ὕπερθε,
Τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
Ζαχρηεῖς γίνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
Ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες.
Λοκροὶ καὶ Φθῖοι, καὶ φαιδιμόεντες Ἐπειοὶ,
Σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδ' ἐδύναντο
Ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον.
Οἱ μὲν Ἀθηναίων προλελεγμένοι, ἐν δ' ἄρα τοῖσιν,
Ἦρχ' υἱὸς Πετεῶο Μενεσθεύς. οἱ δ' ἅμ' ἕποντο
Φείδας τε, Στιχίος τε, Βίας τ' ἐΰς. αὐτὰρ Ἐπειῶν
Φυλείδης τε, Μέγης, Ἀμφίων τε, Δρακίος τε,
Προφθίων τε, Μέδων τε, Μενεπτόλεμός τε Ποδάρκης
Ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο,
Ἔσκε Μέδων Αἴαντος ἀδελφεός, αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος ἄνδρα κατακτάς,
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς.
Αὐτὰρ ὁ Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο.
Οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
Ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο
Αἴας δ' οὐκέτι πάμπαν Ὀϊλῆος ταχὺς υἱός.
Ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου οὐδ' ἠβαιόν.
Ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον
Ἶσον θυμὸν ἔχοντε τιταίνετον, ἀμφὶ δ' ἄρα σφιν
Πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς,
Τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει,
Ἱεμένω κατὰ ὦλκα, τέμνει δέ τε τέλσον ἀρούρης,
Ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοισιν.
Ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε, καὶ ἐσθλοὶ,
Λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
Ὁππότε μιν κάματός τε, καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
Οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο
Οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ.
Οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας.
Οὐδ' ἔχον ἀσπίδας εὐκύκλους, καὶ μείλινα δοῦρα.
Ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες οἷσιν ἔπειτα
Ταρφέα βάλλοντες, Τρώων ῥήγνυντο φάλαγγας.
Δή ῥα τόθ' οἱ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισι

Μάρναντο

Μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ.
Οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον, οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο, συνεκλόνεον γὰρ ὀϊστοί.
Ἔνθά κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
Εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς,
Ἕκτορ ἀμήχανός ἐσσι παρρητοῖσι πιθέσθαι.
Οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
Τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιίδμεναι ἄλλων;
Ἀλλ' ὅπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα.
Ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,
Ἄλλῳ δ' ἐν στήθεσι τίθει νόον εὐρύοπα Ζεύς
Ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι.
Καί τε πόλεις ἐσάωσε, μάλιστα δ' ἐκ αὐτὸς ἀνέγνω.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα,
Πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ κατὰ τεῖχος ἔβησαν
Οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
Παυρότεροι πλεόνεσσι κεδασθέντες κατὰ νῆας.
Ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους.
Ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
Ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,
Αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
Πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες, ἦ γὰρ ἔγωγε
Δείδω, μὴ τὸ χθιζὸν ἀποτίσωνται Ἀχαιοὶ
Χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο
Μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.
Ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους.
Αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο.
Αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.
Ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώς.
Κεκληγώς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
Οἱ δ' ἐς Πανθοΐδην Ἀγαπήνορα Πουλυδάμαντα,
Πάντες ἐπεσσεύοντ' ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
Αὐτὰρ ὁ, Δηΐφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος.
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱόν.
Φοίτα ἀνὰ προμάχους διζήμενος εἴ που ἐφεύροι.
Τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους.
Ἀλλ' οἱ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν.
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
Οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι, οὐτάμενοί τε.
Τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης

Δῖον

συνεκλόνεον.] συνετάρασσον. λευγαλέως.] ὀλεθρίως, ἀδόξως. παρρητοῖσι.] παραμυθητικοῖς. παραινετικοῖς. περιίδμεναι.] περισσῶς εἰδέναι. ἅμα.] νῦν ἐπίρρημα χρόνου δηλωτικόν. ἐπαυρίσκοντ'.] ἀπολαύουσιν. μάλιστα δ' ἐκ αὐτὸς ἀνέγνω.] ἐξαιρέτως δὲ καὶ αὐτὸς ἐγνώρισε τὸ διὰ συνέσεως ἀγαθόν. πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε.] πανταχόθεν γάρ σε περιεκυκλώσαντο οἱ πολέμιοι. ἐπιφρασσαίμεθα.] ἐπινοήσαιμεν. πέσωμεν.] ἐμπέσωμεν, εἰσέλθωμεν. μὴ τὸ χθιζὸν ἀποτίσωνται Ἀχαιοὶ χρεῖος.] μήπως τὴν χθεσινὴν ἧτταν ἀποδώσωσιν ἡμῖν οἱ Ἕλληνες ὥσπερ σταθμῷ δεδανεικότες. μηδέπω γὰρ νομισμάτων ὑπαρχόντων, σταθμῷ ἐδάνειζον οἱ ἀρχαῖοι χρυσίον καὶ ἀργύριον καὶ τὰ παραπλήσια.

χρεῖος.] δάνειον. σχήσεσθαι.] ἀποπαύσασθαι. ἅδε.] ἤρεσεν.

ἀντιόω.] ἀπαντήσω, μεταλήψομαι.

Ἀγαπήνορα.] ἀγαπῶντα τὴν ἀνδρίαν, πολεμικόν. ἀπήμονας.] ἀβλαβεῖς, ἀσινεῖς. τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους.] συλληπτικῶς πέφρακεν· ἀντὶ τοῦ τοὺς μὲν οὐκ ἀπήμονας, τοὺς τετρωμένους· τοὺς δὲ οὐκ ἀνωλέθρους, τοὺς ἀνῃρημένους. βεβλημένοι οὐτάμενοί τε.] ἀντὶ τοῦ οἱ μὲν ἀπὸ μήκους βεβλημένοι δόρατι ἢ ἰῷ. οἱ δὲ ἐκ τοῦ ἐγγὺς τετρωμένοι, ξίφει, ἤ τινι τοιούτῳ. θαρσύνοντα.]

θαρσύνοντα.] παρορμῶντα. νῦν τοι σῶς ὄλεθρος.] νῦν οὐκ ἐλλείπει σοι πρὸς ἀπώλειαν. ἄλλοτε.] ἐν ἄλλῳ καιρῷ. ἐρωῆσαι πτολέμοιο μέλλω.] ἔοικα ἠμεληκέναι τοῦ πολέμου. ἀνάλκιδα.] ἀσθενῆ. τετυμμένω.] τετρωμένω ἐκ χειρός. Ἀσκανίης.] Ἀσκανία πόλις Φρυγίας. ἀμοιβοί.] ἤτοι διὰ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσίν, ἀντὶ τῶν πρότερον συνεργούντων αὐτοῖς πολιτῶν. διὰ γὰρ τὸ ἤδη δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι, οἱ πρῶτοι κεκμηκότες κατὰ μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων ἀπεπέμποντο ὡς ἐικὸς διὰ ἀμοιβῆς ἀμύνοντες. ἢ οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξίν. ἐπιφέρει, ἠοῖ τῇ προτέρῃ. λέγει γὰρ ἐν τῷ καταλόγῳ Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδής. ἢ ἀμοιβοί, πεζοί. διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίγνεται τῶν πεζῶν ἔφοδος. ἠοῖ τῇ προτέρῃ.] τῇ χθὲς ἡμέρᾳ. ὑπὸ βροντῆς.] ἀντὶ τοῦ μετὰ βροντῆς. πέδονδε.] εἰς τὸ ἔδαφος. θεσπεσίῳ ὁμάδῳ.] θείῳ θορύβῳ. ἁλί.] τῇ θαλάσσῃ. παφλάζοντα.] ἠχοῦντα, ἀναζέοντα. ὀνοματοποιΐα ὁ τρόπος. κυρτά.] ὑψηλά. φαληριόωντα.] λευκανίζοντα, τουτέστι λευκαινόμενα ὑπὸ ἀφροῦ. πρὸ μέν τ' ἄλλα αὐτὰρ ἐπ' ἄλλα.] ἄλλα πρὸ ἄλλων, τουτέστιν ἐπάλληλα, πυκνά. ἐπελήλατο.] ἐπικατεσκεύαστο. ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.] περὶ δὲ τοῖς κροτάφοις αὐτοῦ ἐσείετο ἡ περικεφαλαία σφοδρῶς ἐνεργοῦντος. οὐ σύγχει.] οὐκ ἐθορύβει, οὐκ ἐτάραττε. βιβάσθων.] διαβάς. δειδίσσεαι.] ὡς δέος ἐγείρεις, ἐκφοβεῖς.

ἀδαήμο-

Δῖον Ἀλέξανδρον Ἑλένης πόσιν ἠϋκόμοιο,
θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι.
Ἀγχοῦ δ' ἱστάμενος, προσέφη αἰσχροῖς ἐπέεσσιν.
Δύσπαρι εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτά.
Ποῦ τοι Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδης τ' Ἀδάμας, ἠδ' Ἄσιος Ὑρτάκου υἱός.
Ποῦ δέ τοι Ὀθρυονεύς, νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή, νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής.
Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι.
Ἄλλοτε δήποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
Ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
νωλεμέως, ἕταροι δὲ κατέκταθεν οὓς σὺ μεταλλᾷς,
Οἴω Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος.
Οἴχεσθον μακρῇσι τετυμμένω ἐγχείῃσιν.
Ἀμφοτέρω κατὰ χεῖρα, φόνον δ' ἤμυνε Κρονίων.
Νῦν δ' ἄρχ' ὅππῃ σε κραδίη θυμός τε κελεύει.
Ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ' οὐδέ τε φημὶ
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
Πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν.
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως.
Βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν.
Ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα.
Φάλκην, Ὀρθαῖόν τε, καὶ ἀντίθεον Πολυφοίτην.
Πάλμυν τ', Ἀσκάνιόν τε, Μόρυν θ' υἷ' Ἱπποτίωνος.
Οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί.
Ἠοῖ τῇ προτέρῃ, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
Οἱ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ.
Ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε
θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης
κυρτὰ φαληριόωντα, πρὸ μέν τ' ἄλλ' αὐτὰρ ἐπ' ἄλλα.
Ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι
χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο βροτολοιγῷ ἶσος Ἄρηϊ.
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
ῥινοῖσιν πυκινήν, πολλὸς δ' ἐπελήλατο χαλκός.
Ἀμφὶ δέ οἱ κροτάφοισι, φαεινὴ σείετο πήληξ.
Πάντῃ δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων
εἴ πως οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι.
Ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο μακρὰ βιβάσθων.
Δαιμόνιε σχεδὸν ἐλθέ, τίη δειδίσσεαι οὕτως
Ἀργείους, οὔ τι μάχης ἀδαήμονές εἰμεν.

Ἀλλὰ

Ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
Νῆας, ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν·
Ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ,
Χερσὶν ὑφ' ἡμετέρῃσιν, ἁλοῦσά τε περθομένη τε.
Σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁπότε φεύγων
Ἀρήσῃ Διῒ πατρὶ, καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους.
Οἵ σε πόλινδ' οἴσουσι κονίοντες πεδίοιο.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης. ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,
Θάρσυνος οἰωνῷ, ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ.
Αἶαν ἁμαρτοεπὲς βουγάϊε, ποῖον ἔειπες;
Αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
Ὡς νῦν ἡμέρη ἥδε, κακὸν φέρει Ἀργείοισι
Πᾶσι μάλ'. ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς
Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα
Δάψει, ἀτὰρ Τρώων κορέσεις κύνας ἠδ' οἰωνοὺς,
Δημῷ καὶ σάρκεσσι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
Ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο
Ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

ἀδαήμονες.] ἀμαθεῖς. Διὸς μάστιγι.] τῇ Διὸς πληγῇ, τῷ κεραυνῷ. ἦ θήν.] οὕτως δή. ἐξαλαπάξειν.] κενώσειν, πορθήσειν. φθαίη.] φθάσει. ἰρήκων.] ἱεράκων. ἔστι δὲ εἶδος ἀετοῦ. κονίοντες.] κονιορτὸν ἐγείροντες. δεξιός.] αἴσιος, ἀγαθός. θάρσυνος.] τεθαῤῥηκώς. ἁμαρτοεπές.] ἁμαρτάνων τοῦ σκοποῦ τῶν λόγων. βουγάϊε.] μεγάλως ἐπὶ σαυτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν, ἢ βουβρύτα. πεφήσεαι.] ἀναιρεθήσῃ, φονευθήσῃ. ταλάσσῃς.] τλῇς, ὑπομείνῃς. λειριόεντα.] εὐανθῆ, ῥυφρὸν, ἢ λιπαρόν. δάψει.] διακόψει, τρώσει. Διὸς αὐγάς.] τὰς Διὸς ἀπολάμψεις.

ΙΛΙΑ-

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ξ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνων συλλαβὼν τοὺς τραυματίας καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης, κατέρχεται, καὶ τὸν ὕπνον πείσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ. καὶ πολὺς φόνος γίγνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα, πλήσσει. ὁ δὲ ἀναγαγὼν αἷμα, λειποψυχεῖ. ἀριστεύει δὲ καὶ Αἴας ὁ Λοκρός.

ΣΧΟΛΙΑ